καὶ πάντας ἅμα συνάγων, πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν, ἔνθα δὴ ὁ σύλλογος καλεῖται. καὶ τοὺς μὲν ἀμφὶ τὴν αὑτοῦ οἴκησιν αὐτὸς ἐφορᾷ, τοὺς δὲ πρόσω ἀποικοῦντας, πιστοὺς πέμπει ἐπισκοπεῖν.

ζ΄. Καὶ οἱ μὲν ἂν φαίνωνται τῶν φρουράρχων, καὶ τῶν χιλιάρχων, καὶ τῶν σατραπῶν τὸν ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες, καὶ τούτους δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι, τούτους μὲν τοὺς ἄρχοντας καὶ ταῖς τιμαῖς αὔξει, καὶ δώροις μεγάλοις καταπλουτίζει· οὓς δ᾽ ἂν εὕροι τῶν ἀρχόντων ἢ καταμελοῦντας τῶν φρουράρχων, ἢ κατακερδαίνοντας, τούτους χαλεπῶς κολάζει, καὶ παύων τῆς ἀρχῆς, ἄλλους ἐπιμελητὰς καθίστησι. τῶν μὲν δὴ πολεμικῶν ἔργων ταῦτα ποιῶν δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι.

η΄. Ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας διελαύνων ἐφορᾷ αὐτὸς, καὶ δοκιμάζει· ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται. καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην γε τὴν χώραν παρεχομένους, καὶ ἐνεργὸν οὖσαν τὴν γῆν, καὶ πλήρη δένδρων τε, ὧν ἑκάστη φέρει, καὶ καρπῶν, τούτοις μὲν χώραν τὴν ἄλλην προστίθησι, καὶ δώροις κοσμεῖ, καὶ ἕδραις ἐντίμοις γεραίρει. οἷς δ᾽ ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν, καὶ ὀλιγάνθρωπον, ἢ διὰ χαλεπότητα, ἢ δι᾽ ὕβριν, ἢ δι᾽ ἀμέλειαν, τούτους δὲ κολάζων, καὶ παύων τῆς ἀρχῆς, ἄρχοντας ἄλλους καθίστησι.

θ΄. Ταυ-